Αζαραηλ ὁ τοῦ Ιωραμ. οὗτοι πατριάρχαι τῶν φυλῶν Ισραηλ. —
[23]καὶ οὐκ ἔλαβεν Δαυιδ τὸν ἀριθμὸν αὐτῶν ἀπὸ εἰκοσαετοῦς καὶ 23
κάτω, ὅτι κύριος εἶπεν πληθῦναι τὸν Ισραηλ ὡς τοὺς ἀστέρας τοῦ
οὐρανοῦ. [24]καὶ Ιωαβ ὁ τοῦ Σαρουια ἤρξατο ἀριθμεῖν ἐν τῷ λαῷ 24
καὶ οὐ συνετέλεσεν, καὶ ἐγένετο ἐν τούτοις ὀργὴ ἐπὶ τὸν Ισραηλ,
καὶ οὐ κατεχωρίσθη ὁ ἀριθμὸς ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τοῦ
βασιλέως Δαυιδ.

[25]Καὶ ἐπὶ τῶν θησαυρῶν τοῦ βασιλέως Ασμωθ ὁ τοῦ Ωδιηλ, 25
καὶ ἐπὶ τῶν θησαυρῶν τῶν ἐν ἀγρῷ καὶ ἐν ταῖς κώμαις καὶ ἐν
τοῖς ἐποικίοις καὶ ἐν τοῖς πύργοις Ιωναθαν ὁ τοῦ Οζιου. [26]ἐπὶ δὲ 26
τῶν γεωργούντων τὴν γῆν τῶν ἐργαζομένων Εσδρι ὁ τοῦ Χολουβ,
[27]καὶ ἐπὶ τῶν χωρίων Σεμεϊ ὁ ἐκ Ραμα, καὶ ἐπὶ τῶν θησαυρῶν 27
τῶν ἐν τοῖς χωρίοις τοῦ οἴνου Ζαχρι ὁ τοῦ Σεφνι, [28]καὶ ἐπὶ τῶν 28
ἐλαιώνων καὶ ἐπὶ τῶν συκαμίνων τῶν ἐν τῇ πεδινῇ Βαλανας ὁ
Γεδωρίτης, ἐπὶ δὲ τῶν θησαυρῶν τοῦ ἐλαίου Ιωας. [29]καὶ ἐπὶ τῶν 29
βοῶν τῶν νομάδων τῶν ἐν τῷ Ασιδων Σατραις ὁ Σαρωνίτης,
καὶ ἐπὶ τῶν βοῶν τῶν ἐν τοῖς αὐλῶσιν Σωφατ ὁ τοῦ Αδλι, [30]ἐπὶ 30
δὲ τῶν καμήλων Ωβιλ ὁ Ισμαηλίτης, ἐπὶ δὲ τῶν ὄνων Ιαδιας ὁ ἐκ
Μεραθων, [31]καὶ ἐπὶ τῶν προβάτων Ιαζιζ ὁ Αγαρίτης. πάντες οὗτοι 31
προστάται ὑπαρχόντων Δαυιδ τοῦ βασιλέως. — [32]καὶ Ιωναθαν ὁ 32
πατράδελφος Δαυιδ σύμβουλος, ἄνθρωπος συνετὸς καὶ γραμματεὺς
αὐτός, καὶ Ιιηλ ὁ τοῦ Αχαμανι μετὰ τῶν υἱῶν τοῦ βασιλέως, [33]καὶ 33
Αχιτοφελ σύμβουλος τοῦ βασιλέως, καὶ Χουσι πρῶτος φίλος τοῦ
βασιλέως, [34]καὶ μετὰ τοῦτον Αχιτοφελ ἐχόμενος Ιωδαε ὁ τοῦ Βα- 34
ναιου καὶ Αβιαθαρ, καὶ Ιωαβ ἀρχιστράτηγος τοῦ βασιλέως.

[1]Καὶ ἐξεκκλησίασεν Δαυιδ πάντας τοὺς ἄρχοντας Ισραηλ, ἄρχον- 28
τας τῶν κριτῶν καὶ τοὺς ἄρχοντας τῶν ἐφημεριῶν τῶν περὶ τὸ
σῶμα τοῦ βασιλέως καὶ ἄρχοντας τῶν χιλιάδων καὶ τῶν ἑκατον-
τάδων καὶ τοὺς γαζοφύλακας καὶ τοὺς ἐπὶ τῶν ὑπαρχόντων αὐτοῦ
καὶ τοὺς δυνάστας καὶ τοὺς μαχητὰς τῆς στρατιᾶς, ἐν Ιερουσαλημ.

22 αζαραηλ B†] εζριηλ A || 24 του 1⁰] της A | τον > *BL*† || 25 αζμωθ A: cf. 8 36 || 26 εσδρ(ε)ι B† (cf. Iud. B 6 11.24 8 32)] εζραι A | χολουβ Ra.] χοβουδ B†, χελ. A || 27 εκ ραμα Ra.] εκ ραηλ B†, εκ ραμαθ pau., ραμαθαιος A | ζαχρ(ε)ι B†] ζαβδι rel. || 28 βαλανας B†] βαλλανα A, βαλααναν compl. | γεδωρι V, γεδωρ A† || 29 ασ(ε)ιδων B†] ασαρω(ν) *L*†, σαρων rel. | σατραις Ra.] ασαρταις B†, σατραι A | σωφατ] -αν B†, σαφατ Vmu. | αδλι Sixt.] αδαι mss. || 30 ωβιλ Complut.] ωβια *L*†, ουβιας A, αβιας B†, ναιβαλ compl. | μεραθων B*L*†] μαρ. rel. || 31 ιαζ(ε)ιζ B†] ιωσζιζ AV†, ιωαζ *L*ᵖ†, ιωας *L*ᵖ pl. | αγαριτης] γαρ. B, γαδαρ(ε)ι *L*† || 32 και γραμμ. αυτος > B† | ι(ε)ιηλ] ιεηλ B: cf. 9 6; ιεριηλ A† | αχαμανι] αχαμει B† || 33 και 1⁰ > B† | πρωτος] pr. ο B*L*† || 34 μετα τουτον] μετ αυτον A | ιωδαε] ιωαδαε A†, ιωαδ *L*†: cf. 11 24 12 28

28 1 κριτων] φυλων *L*† | τους αρχ. 2⁰] pr. παντας A | της στρατιας > B†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/859 UNIVERSITÄT LEIPZIG